# ΕΠΙΣΤΟ
## ΛΑΙ ΚΑΘΟΛΙΚΑΙ.

Ἐπιστολὴ τοῦ ἰακώβου.

Ἐπιστολαὶ τοῦ πέτρου.

Ἐπιστολαὶ ἰωάννου τοῦ εὐαγγελιστοῦ, καὶ θεολόγου.

Ἐπιστολὴ ἰούδα τοῦ ἀποστόλου.

# EPISTO
## læ catholicę.

Epistola Iacobi.

Epistolę Petri.

Epistolę Ioannis euãgelistę, et theologi.

Epistola Iudæ apostoli.

Vænundantur Louanij apud Bartholomæum Grauium, sub sole aureo.

4017(2)

# ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΙΑΚΩΒΟΥ.

ΙΑΚΩΒΟΣ θεοῦ καὶ κυρίου Ἰησοῦ χριστοῦ
δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν
τῇ διασπορᾷ, χαίρειν. πᾶσαν χαρὰν ἡγή
σασθε ἀδελφοί μου, ὅταν πειρασμοῖς περι
πέσητε ποικίλοις. γινώσκοντες, ὅτι τὸ δο
κίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπο
μονήν. ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω,
ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ
λειπόμενοι. εἰ δέ τις ὑμῶν λείπεται σοφί
ας, αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν
ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται
αὐτῷ. αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρι-
νόμενος. ὁ γὰρ διακρινόμενος ἔοικε κλύδω
νι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ.
μὴ γὰρ οἰέσθω ἄνθρωπος ἐκεῖνος, ὅτι λήψε-
ταί τι παρὰ τοῦ κυρίου. ἀνὴρ δίψυχος, ἀκα
τάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.
καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινός, ἐν

τῷ

σατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ, εἰς ζωὴν αἰώνιον. καὶ
οὓς μὲν ἐλεεῖτε διακρινόμενοι, οὓς δὲ ἐν
φόβῳ σώζετε, ἐκ πυρὸς ἁρπάζοντες, μι
σοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χι
τῶνα. τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς
ἀπταίστους, καὶ στῆσαι κατενώπιον τῆς δόξης
αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει. μόνῳ σο
φῷ θεῷ σωτῆρι ἡμῶν, δόξα
καὶ μεγαλοσύνη, κρά
τος καὶ ἐξουσία,
νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. ἀμήν.

Louanij ex officina Rutgeri Rescij,
Idibus Septembris.
A.M.D.XXXI.
Sumptibus eiusdem, ac Bartholomaei Grauij.